ὁ δαίμων πανουργίᾳ ἰδίᾳ ἀναχωρεῖ· ἐπιτίθεσθαι γὰρ δειλιᾷ, φεύγων τὸ συνεχῶς θριαμβεύεσθαι. Ὅτι μέντοι πολλάκις ἐπάνεισιν εἰς ὃν καταλέλοιπεν, ἐν τῷ κατὰ Ματθαῖον λέγεται· „Ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον".

## CXV. — Περὶ τῆς ἐνεργείας τῆς σωματικῆς κτίσεως.

1. Ὅτι τισὶ σώμασι πρόσεστι τὸ ποιητικοῖς εἶναι ἄλλων, ὃ δῆλον καὶ τῇ αἰσθήσει· δύναται γὰρ ἐνεργεῖν τὸ σῶμα, καθό ἐστιν αὐτὸ ἐνεργείᾳ, εἰς ἄλλο, καθό ἐστιν ἐν δυνάμει ἐκεῖνο· ὡς γὰρ ὁ Θεός ἐστι κινοῦν μὴ κινούμενον, καὶ διὰ τοῦτο ποιῶν μόνον ἐστίν, ἡ δὲ παθητικὴ δύναμις αὐτῷ οὐδαμῶς ἁρμόζει, οὕτως ἐστί τι κινούμενον καὶ πάσχον μόνον, ὡς ἡ ὕλη, δύναμις οὖσα ψιλή, ὡς ὁ Θεὸς ἐνέργεια εἰλικρινὴς καὶ ψιλή. Τὸ δὲ σῶμα, ἐκ δυνάμεως καὶ ἐντελεχείας συγκείμενον, ὡς ποιοῦν ἐστι καὶ πάσχον. f. 282v

2. Ὅτι οἱ σπερματικοὶ λόγοι, τουτέστιν αἱ ποιητικαὶ καὶ παθητικαὶ δυνάμεις, αἵ εἰσιν ἀρχαὶ τῶν γενέσεων καὶ τῶν φυσικῶν κινήσεων, πρῶτον μὲν ἐν αὐτῷ εἰσι τῷ τοῦ Θεοῦ Λόγῳ ἀρχοειδῶς καὶ αἰτιατικῶς κατὰ λόγον ἰδεῶν· δεύτερον, ἐν τοῖς στοιχείοις τοῦ κόσμου, ἐν οἷς ἐξ ἀρχῆς παρήχθησαν ὡς ἐν καθόλου ἀρχαῖς· τρίτον, ἐν τοῖς κατὰ τὴν τοῦ χρόνου διαδοχὴν προαγομένοις ἐκ τῶν καθόλου αἰτίων, ὥσπερ ἐν ἐκείνῳ τῷ φυτῷ ἢ ἐν τούτῳ τῷ ζῴῳ ὡς ἐν μερικαῖς αἰτίαις· τέταρτον, ἐν τοῖς σπέρμασι τοῖς ἐκ τῶν ζῴων καὶ φυτῶν προαγομένοις, ἃ ἐνεργοῦσιν εἰς ἄλλα ἀποτελέσματα μερικά, ὡς αἱ πρῶται καθόλου αἰτίαι πρὸς τὰ πρῶτα ἀποτελέσματα.

3. Ὅτι τὰ οὐράνια σώματα αἴτιά εἰσι τῶν ἐν τοῖς ὑποκάτω σώμασι γινομένων ἐνταῦθα. Πᾶν γὰρ πλῆθος ἐκ τῆς μονάδος πρόεισιν, καὶ διὰ τοῦτο τὸ μὲν ἀκίνητον ὂν μοναχῶς ἐστι· τὰ δὲ κινούμενα πολλαχῶς θεωροῦνται ἐν ὅλῃ τῇ φύσει· πᾶσα γὰρ κίνησις ἐκ τοῦ ἀκινήτου πρόεισιν, καὶ διὰ τοῦτο ὅσῳ τινὰ πλέον εἰσὶν ἀκίνητα, τοσοῦτόν εἰσι καὶ μᾶλλον αἴτια τῶν μᾶλλον κινουμένων. Τὰ δὲ οὐράνια σώματα ἀκινητότερά εἰσι τῶν ἐνταῦθα σωμάτων· τοπικῇ γὰρ μόνον κινήσει κινοῦνται, καὶ διὰ τοῦτο αἱ κινήσεις τῶν ἐνταῦθα σωμάτων, ποικίλαι καὶ πολυειδεῖς οὖσαι, εἰς τὴν τοῦ οὐρανίου σώματος κίνησιν ὡς εἰς αἰτίαν ἀνάγονται.

4. Ὅτι οὐκ εἰσὶν αἴτια τῶν ἀνθρωπίνων ἐνεργειῶν τὰ οὐράνια σώματα. Εἰς μὲν γὰρ τὰ σώματα ἄντικρυς δρῶσι καὶ καθ' αὑτά. Εἰς δὲ τὰς τῆς ψυχῆς δυνάμεις, ἄντικρυς μέν, ἀλλὰ κατὰ συμβεβηκός, αἵ εἰσιν ὀργάνων σωματικῶν ἐντελέχειαι. Ἀνάγκη γὰρ τὰς ἐνεργείας τῶν τοιούτων δυνάμεων κωλύεσθαι, τῶν ὀργάνων ἐμποδιζομένων, ὥσπερ ὀφθαλμὸς ταραχθεὶς οὐ καλῶς ὁρᾷ· εἰς δὲ τὸν νοῦν καὶ τὴν θέλησιν, ἐπεὶ οὐκ εἰσὶν δυνάμεις

3 Matth. 12, 44

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὀργάνοις σωματικοῖς προσδεδεμέναι, οὐ δρῶσιν οὔτε καθ' αὑτά, οὔτε f. 283 ἄντικρυς· ὅθεν οὐδ' | εἰσὶν ἐξ ἀνάγκης αἴτια τῶν ἀνθρωπίνων αἱρέσεων καὶ ἐνεργειῶν, ἤ, εἶπετ' ἂν ὁρμῇ φυσικῇ μόνῃ τὸν ἄνθρωπον ἐνεργεῖν, ὡς τὰ λοιπὰ ζῷα, καὶ μὴ εἶναι αὐτεξούσιον, ἀλλ' ὡρισμένως ἐνεργεῖν, ὥσπερ τὰ ἄλλα φυσικά, ἃ ψευδῆ εἰσιν. Κατὰ συμβεβηκὸς μέντοι δρῶσιν καὶ εἰς τὸν νοῦν καὶ τὴν θέλησιν, καθόσον λαμβάνουσι ταῦτα τρόπον τινὰ παρὰ τῶν ταπεινοτέρων δυνάμεων τῶν σωματικοῖς ὀργάνοις προσδεδεμένων, καὶ μᾶλλον μὲν ὁ νοῦς ἐκ τούτων λαμβάνει· ὅθεν τι καὶ κωλυομένων, ἡ νοερὰ ἐνέργεια, ὡς εἴρηται, ἐμποδίζεται· ἧττον δὲ ἡ θέλησις· εἰ γὰρ καὶ τὰ ἐν τῷ θυμικῷ ἔχουσί τινα δύναμιν πρὸς τὸ κλίνειν τὴν θέλησιν, ἀλλ' ἐν τῇ ἐξουσίᾳ τῆς θελήσεως κεῖται ἕπεσθαι ἢ ἀνθίστασθαι τοῖς πάθεσιν· ἡ δὲ θέλησίς ἐστι προσεχὴς αἰτία τῶν ἀνθρωπίνων ἐνεργειῶν, ἐφ' ἣν ἧττον ἡ δρᾶσις ἀφικνεῖται τῶν οὐρανίων σωμάτων, ἢ τὰς ταπεινοτέρας μεταβάλλουσα δυνάμεις.

Ἰστέον δέ, ὡς οἱ πλείους τῶν ἀνθρώπων ἕπονται τοῖς πάθεσιν, καὶ ὀλίγοι εἰσὶν οἱ αὐτοῖς ἀνθιστάμενοι, καὶ διὰ τοῦτο οἱ ἀστρολόγοι, ὡς ἐπὶ τὸ πλεῖστον, ἀληθῆ προαγορεύουσιν, καὶ μάλιστα κοινότερον, οὐ μέντοι ἰδικῶς. Οὐδὲν γὰρ κωλύει τινὰ τῶν ἀνθρώπων διὰ τοῦ αὐτεξουσίου ἀνθίστασθαι τοῖς πάθεσιν, πρὸς ἃ αἱ δράσεις ἐκεῖναι τῶν οὐρανίων ἰσχύουσιν· ὅθεν καὶ οἱ ἀστρολόγοι φασίν, ὡς ὁ σοφὸς ἄρχει τῶν ἄστρων, καθόσον δηλαδὴ καὶ τῶν ἰδίων παθῶν.

5. Ὅτι οὐ δρῶσιν εἰς τοὺς δαίμονας τὰ οὐράνια σώματα· ὑψηλότεροι γάρ εἰσιν αὐτῶν τῇ τάξει τῆς φύσεως· τὸ δὲ ποιοῦν τοῦ πάσχοντός ἐστιν ὑψηλότερον. Εἰ δὲ κατά τινας τῆς σελήνης αὐξήσεις ἐνοχλεῖν εἰώθασι τοῖς ἀνθρώποις, πρῶτον μὲν ἵνα διαβάλλωσι τὸ κτίσμα τοῦ Θεοῦ τοῦτο ποιοῦσιν· δεύτερον, ὡς κατανοοῦντες τὰς τῶν σωμάτων ἐπιτηδειότητας πρὸς ἃ σκοποῦσιν αὐτοὶ ἀποτελέσματα, οὐ δυνάμενοι ἐνεργεῖν ἄνευ τῆς μεσιτείας τῶν φυσικῶν δυνάμεων· ὁ δὲ ἐγκέφαλος πάντων τῶν μορίων ὑγρότατος ὤν, ὑπόκειται τῇ τῆς σελήνης ἐνεργείᾳ, πεφυκυίᾳ κατὰ τὴν αὐτῆς ἰδιότητα κινεῖν τὸν χυμόν· ἐν δὲ τῷ ἐγκεφάλῳ αἱ ζωτικαὶ δυνάμεις ἐπιτελοῦνται, καὶ διὰ τοῦτο κατά τινας ὡρισμένας τῆς σελήνης αὐξήσεις τὴν φαντασίαν ταράττουσιν, ὅταν τὸν ἐγκέφαλον πρὸς τοῦτ' ἐπιτήδειον θεωρῶσιν.

Παραγίνονταί τε καλούμενοι ἐν ὡρισμέναις συναστρίαις, πρῶτον μὲν ἵνα πλανῶσι τοὺς ἀνθρώπους περὶ τοιαύτης τῶν ἄστρων δυνάμεως· δεύτερον, ὅτι τότε ὁρῶσι τὴν σωματικὴν ὕλην μᾶλλον διακειμένην πρὸς ἃ καλοῦνται f. 283v ἀποτελέσματα· τρέφονταί τε διαφόροις γένεσι λίθων, | βοτανῶν, ξύλων, ζῴων, ἐπῶν, ῥυθμῶν, οὐχ ὡς τὰ ζῷα ταῖς τροφαῖς, ἀλλ' ὥσπερ πνεύματα σημείοις, καθόσον δίδονται ταῦτα τούτοις εἰς σημεῖον τῆς θείας τιμῆς, ἧς ὀρέγονται.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

6. Ὅτι οὐ πάντα τὰ τῶν οὐρανίων ἀποτελέσματα ἐξ ἀνάγκης ἀποβαίνουσιν. Εἰσὶ γὰρ αἰτιατὰ ἐνταῦθα ἀποτελέσματα, μεσιτευόντων τῶν ἐν τοῖς ὑποκάτω μερικῶν αἰτίων, ἅπερ ὡς ἐπ' ἔλαττον ἀσθενεῖν δυνατόν. Καὶ διὰ τοῦτο ἡ τῆς ὕλης παχύτης ἢ ψυχρότης, ἢ θερμότης, ἢ ἄλλη τις τοιαύτη διάθεσις δύναται κωλύειν τὸ τοῦ οὐρανίου σώματος ἀποτέλεσμα, ὥσπερ ἡ τοπικὴ διάστασις κωλύει τὸν ἥλιον θερμαίνειν ὁμοίως ἐν τῇ Δακίᾳ καὶ Αἰθιοπίᾳ.

Εἰ δὲ καὶ τὸ αἴτιον τὸ κωλῦον ἀποτέλεσμά τινος αἰτίας ὡς εἰς αἴτιον ἀνάγεται οὐράνιόν τι σῶμα, ἡ συνδρομὴ μέντοι τῶν δευτέρων αἰτίων κατὰ συμβεβηκὸς οὖσα, οὐκ ἀνάγεται εἰς αἰτίαν τινὰ τῶν οὐρανίων σωμάτων· ἁπλῶς γὰρ οὐκ ἔστιν αἰτία τοῦ κατὰ συμβεβηκὸς ὄντος, ἐπεὶ οὐδ' ἀληθῶς ἐστιν ὄν, μὴ κατὰ ἀλήθειαν ἓν ὄν· τὸ γὰρ λευκὸν μουσικὸν οὐκ ἔχει αἰτίαν, εἰ καὶ χωρὶς τὸ λευκὸν ἔχει καὶ τὸ μουσικὸν ἰδίαν αἰτίαν. Ὅτι δὲ καὶ ἐν οἷς ἡ ἐνέργεια τῆς ἀνθρωπίνης ἐκτείνεται θελήσεως οὐκ ἐξ ἀνάγκης ἀποτελοῦσι τὰ οὐράνια διὰ τὸ μὴ ἐξ ἀνάγκης ἕπεσθαι τὴν θέλησιν ταῖς ἐκεῖθεν ἐγγινομέναις τῇ σωματικῇ φύσει καὶ διαθέσει ῥοπαῖς, εἴρηται.

## CXVI. — Περὶ εἱμαρμένης.

1. Ὅτι ἔστι τι ἡ εἱμαρμένη. Τινὲς γὰρ τὰ ἐνταῦθα ἀπὸ τύχης ἢ ταὐτομάτου γινόμενα εἰς μηδεμίαν αἰτίαν ὑψηλοτέραν ἀνῆγον· τινὲς δὲ αἰτίαν τούτων ἔθεντο τὰ οὐράνια σώματα· ἑκάτεροι δὲ φαύλως ἐδόξασαν. Τὸ δ' ἀληθές ἐστιν, ὅτι εἴς τινα καὶ ταῦτα αἰτίαν ἀνάγονται, τάττουσαν καὶ διὰ νοῦ ἐνεργουμένην, ἥ ἐστιν ὁ Θεός· μόνος γὰρ ὁ Θεὸς μεταβάλλειν ἔχει τὴν ἀνθρωπίνην θέλησιν, ὡς ταύτῃ ἐκείνῳ μόνῳ ἀποδοτέα ἡ τάξις τῶν ἀνθρωπίνων ἐνεργειῶν. Οὐδὲν δὲ ἀδύνατον τὸ ἐνταῦθα τυχαῖον δοκοῦν καὶ παρὰ σκοπὸν καθ' αὑτὸ καὶ κατὰ σκοπὸν εἶναι τοῦ πρώτου ποιοῦντος, ὥσπερ δύο δούλων εἰς τὸν αὐτὸν συνδρομὴ τόπον, οὐκ εἰδότων ὅτι συνελεύσονται, ἀγνοοῦντος ἑκατέρου περὶ τοῦ ἑτέρου, κατὰ σκοπόν ἐστι τοῦ πεπομφότος δεσπότου. Οὕτω καὶ τὰ κατὰ συμβεβηκὸς συνερχόμενα ἢ ἐν τοῖς φυσικοῖς, ἢ ἐν τοῖς ἀνθρωπίνοις, εἰς τὴν θείαν ἀνάγονται πρόνοιαν· οὐδὲν γὰρ κωλύει τὸ κατὰ συμβεβηκὸς ἓν καὶ ὂν ὡς ἓν ὑφ' ἑτέρου ληφθῆναι νοῦ ἁπλῶς, ὡς τὸ τὸν τάφον ὀρύσσοντα θησαυρὸν εὑρήσειν· f. 284 ὡς δὲ δύναται νοεῖσθαι τοῦτο, οὕτω | δὲ καὶ ποιεῖσθαι· καὶ ἄνθρωπος γάρ, εἰδὼς οὗ κέκρυπται θησαυρός, ἀναγκάσειεν ἄν τινα ἀγροῖκον τάφον ὀρύσσειν, ἀγνοοῦντα ὅτι χάριν τοῦ τυχεῖν θησαυροῦ. Εἰ οὖν ἀνθρώπῳ καὶ νοεῖν ταῦτα καὶ ποιεῖν ἀμηγέπῃ οὐκ ἀδύνατα, σχολῇ γε τῇ πρώτῃ πάντων

---

2 *αἰτιατῶν ἐνταῦθα ἀποτελεσμάτων* **A** (?) 3 *ἐπ' ἔλαττον*: *ἐπέλλατον* **A**
23 *ἐνεργουμένην*: *ἐνεργουμένου* **A** (= *quae per intellectum agat*). *Ἐνεργοῦσαν* **serait plus clair**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

αἰτίᾳ. Οὕτω τοίνυν καθόσον τὰ ἐνταῦθα πάντα τῇ θείᾳ προνοίᾳ ὑπόκειται ὥσπερ δι' αὐτῆς προδιαταττόμενα καὶ εἰρόμενα καὶ ὡσανεὶ προλεγόμενα, δυνατὸν ὑποτίθεσθαι εἱμαρμένην. Φεύγουσι δὲ οἱ διδάσκαλοι τοὔνομα διὰ τοὺς μεθέλκοντας αὐτὸ ἐπὶ τὴν τῶν ἄστρων δύναμιν· ὅθεν Αὐγουστῖνός φησιν· „Εἴ τις τῇ εἱμαρμένῃ τὰ ἀνθρώπινα ἀποδίδωσιν, ὅτι καὶ αὐτὴν τὴν τοῦ Θεοῦ βούλησιν ἢ δύναμιν τῷ τῆς εἱμαρμένης ὀνόματι καλεῖ, τῆς μὲν δόξης ἐχέσθω, τὴν δὲ γλῶσσαν σωφρονιζέτω".

2. Ὅτι ἔστι τι ἐν τοῖς κτίσμασιν ἡ εἱμαρμένη, καθόσον εἰσὶν ὑπὸ Θεοῦ τεταγμένα πρὸς τὴν τῶν ἀποτελεσμάτων παραγωγήν, εἴτε ὑπηρετουμένοις τισὶ πνεύμασιν, ἢ ψυχῇ, εἴτε συμπάσης διακονουμένης τῆς φύσεως, εἴτε ταῖς οὐρανίαις τῶν ἀστέρων κινήσεσιν, εἴτε ἀγγελικῇ δυνάμει, εἴτε δαιμόνων ποικίλῃ ἐπιμελείᾳ, εἴτε τισὶ τούτων, ἢ πνευματικῇ, ἡ τῆς εἱμαρμένης διεξαγωγὴ καθυφαίνεται, οὐκ ἔχουσα λόγον εἱμαρμένης εἰ μὴ καθόσον ἤρτηται τοῦ Θεοῦ, ὥστε τὴν μὲν τοῦ Θεοῦ ἐξουσίαν ἢ θέλησιν εἱμαρμένην ὀνομάζεσθαι κατ' αἰτίαν, αὐτὴν δὲ τὴν τάξιν τῶν δευτέρων αἰτίων οὐσιωδῶς.

3. Ὅτι ἀκίνητος ἡ εἱμαρμένη, καθόσον ὑπόκειται τῇ θείᾳ προνοίᾳ, ἀκινησίᾳ μέντοι γε ὑποθετικῇ, ὡς λέγομεν ταύτην τὴν ὑποθετικὴν πρότασιν ἀναγκαίαν· εἰ ὁ Θεὸς τὸ μέλλον τοῦτο προῄδει, ἔσται· πρὸς δὲ τὰς δευτέρας αἰτίας θεωρουμένη, κινητή ἐστιν.

4. Ὅτι οὐ πάντα τῇ εἱμαρμένῃ ὑπόκεινται, ἐπεὶ μηδὲ πάντα τοῖς δευτέροις αἰτίοις ὑπόκεινται, ὥσπερ ἡ δόξα τῶν ἀσωμάτων οὐσιῶν καὶ τῶν μακαρίων, καὶ ἡ δημιουργία, καὶ ἄλλα τοιαῦτα.

## CXVII. — Περὶ τῆς τοῦ ἀνθρώπου δράσεως εἰς τὰ λοιπὰ τῶν κτισμάτων.

1. Ὅτι εἷς ἄνθρωπος διδάσκειν δύναται ἕτερον, αἴτιος αὐτῷ γινόμενος ἐπιστήμης. Κατὰ μὲν γὰρ Ἀβερόην, τιθέντα ἕνα νοῦν ἐν πᾶσι τὸν δυνάμει, κοινωνία τῆς ἐπιστήμης ἐστὶν ἡ διδασκαλία ἐν τῷ διατιθέναι τὸν τοῦ μαθητοῦ νοῦν πρὸς τὴν νοερὰν διὰ τῶν φαντασμάτων ἀντίληψιν·
f. 284v κατὰ δὲ Πλάτωνα, προϋφεστάναι λέγοντα τὰς ψυχάς, | ἀνάμνησίς ἐστιν ἡ μάθησις καὶ ἡ διδασκαλία, οὐ διάδοσις ἐπιστήμης ἐκ νέου, ἀλλ' ἐξύπνισις, οἷον εἰπεῖν, πρὸς τὴν θεωρίαν τῶν ἔκπαλαι ἐγνωσμένων. Κατὰ δὲ ἀλήθειαν ὁ διδάσκων αἴτιος γίνεται ἐπιστήμης ἐν τῷ μανθάνοντι τῷ ἀνάγειν αὐτὸν ἀπὸ δυνάμεως εἰς ἐνέργειαν. Δύο γὰρ ποιοῦσι τὴν ἐπιστήμην· ἡ ἔνδον ἀρχή, τουτέστι τοῦ ἐνεργείᾳ νοῦ τὸ φῶς, δι' οὗ γινώσκονται αἱ καθόλου ἀρχαὶ τῶν ἐπιστημῶν φύσει εὐθὺς ἐξ ἀρχῆς, ὃ δῆλον ἐπὶ τῶν δι' εὑρέσεως κτωμένων τὰς ἐπιστήμας δι' εὐφυΐαν· καὶ ἡ ἔξωθεν ἀρχή, ἥτις ἐστὶν ὁ διδάσκαλος, ἐκ τῶν ἐγνωσμένων εἰς τὴν τῶν ἀγνοουμένων γνῶσιν προάγων τῷ τε προβάλλειν βοηθήματά τινα ἢ ὄργανα, οἷον προτά-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σεις τινὰς ἧττον καθόλου, ἢ αἰσθητά τινα παραδείγματα, τῷ τε ῥωννύναι τὸν νοῦν τοῦ μανθάνοντος οὐ δυνάμει τινὶ ποιητικῇ· πάντες γὰρ οἱ ἀνθρώπινοι νοῖ μιᾶς εἰσι τάξεως καὶ βαθμοῦ ἑνὸς κατὰ φύσιν· ἀλλὰ μεθόδῳ συμφορητικῇ τῶν ἀρχῶν πρὸς τὰ συμπεράσματα, ἣν οὐ ῥᾴδιον ἀφ' ἑαυτοῦ εὑρίσκειν καὶ ἔχειν τὸν μαθητήν. Τοῦτο δὲ καὶ ἐν πᾶσι τοῖς κατὰ τέχνης ἐστίν, ὥσπερ ἡ ὑγεία καὶ τῇ δυνάμει τῆς φύσεως ἔνδοθεν καὶ τῇ τέχνῃ τοῦ ἰατροῦ ἔξωθεν ἐπάνεισι τῷ νοσοῦντι· Τὸ δ' αὐτό πως καὶ ἡ φύσις ποιεῖ, ἣν ἡ τέχνη μιμεῖται· ὑγιάζει γὰρ τὸν ἄρρωστον ἔνδοθεν μὲν ἀλλοιοῦσα καὶ πέττουσα, ἔξωθεν δὲ ἐξωθοῦσα (δὲ) τὴν αἰτίαν τῆς νόσου, τὴν πονηρὰν ὕλην.

Εἰ δὲ ἴδιον τοῦ Θεοῦ λέγεται τὸ διδάσκειν, ὡς τὸ „ὁ διδάσκων ἄνθρωπον γνῶσιν", ἀληθῶς ὁ Θεός ἐστιν αἴτιος καὶ τοῦ ἔνδον φωτὸς νοεροῦ, ὃ ἀρχικὸν τῆς ἐπιστήμης αἴτιον, ὥσπερ ἡ φύσις τῆς ὑγείας, καὶ τοῦ ἔξωθεν χορηγοῦντος, ὥσπερ ὁ ἰατρός· οὐ μέντοι ἀποκλείεται καὶ ὁ διδάσκαλος αἴτιος εἶναι ἐπιστήμης τὸν αὐτῷ πρέποντι τρόπον. Οὔτε γὰρ ὡς αἴτιος τοῦ τῆς νοήσεως φωτὸς ἐν τῷ μαθητῇ, οὔτε ὡς αἴτιος τῶν νοητῶν εἰδῶν ἐν αὐτῷ κυρίως, ἀλλ' ὡς κινῶν τὸν μαθητὴν τῇ διδασκαλίᾳ πρὸς τὸ καὶ αὐτὸν τῇ δυνάμει τοῦ ἰδίου νοῦ πλάττειν τὰς νοερὰς εἰκόνας, ὧν αὐτῷ σημεῖα προτίθησιν ἔξω.

**2.** Ὅτι οἱ ἄνθρωποι οὐ δύνανται διδάσκειν ἀγγέλους περὶ τῶν θείων, ὥσπερ οὐδὲ οἱ ταπεινότεροι ἄγγελοι τοὺς ὑπερκειμένους· δύνανται μέντοι δεικνύναι τοὺς διαλογισμοὺς τῶν καρδιῶν αὐτῶν τῷ τῆς ὁμιλίας τρόπῳ· τὸ γὰρ ἐπίστασθαι τὰ τῶν καρδιῶν ἀπόρρητα, μόνου Θεοῦ.

**3.** Ὅτι οὐ δύναται ὁ ἄνθρωπος τῇ τῆς ψυχῆς δυνάμει τὴν σωματικὴν ὕλην μεταβάλλειν, μόνῳ τῷ θείῳ ὑπείκουσαν νεύματι· | εἰ γὰρ μηδὲ f. 285
ἄγγελοι τοῦτο δύνανται, σχολῇ γε οἱ ἄθρωποι τῇ φυσικῇ ἑαυτῶν δυνάμει. Εἰ δὲ οἱ ἅγιοι θαύματα ποιεῖν λέγονται, τῇ τῆς χάριτος δυνάμει, οὐ τῆς φύσεως· ἡ δὲ ᾀδομένη βασκανία γίνεται οὕτως· ἡ ἰσχυρὰ τῆς ψυχῆς φαντασία μεταβάλλει τὸ ψυχικὸν πνεῦμα, καὶ ἡ μεταβολὴ αὕτη μάλιστα γίνεται ἐν ὀφθαλμοῖς, ἐφ' οὓς ὡς λεπτοτέρους ἀφικνεῖται τὸ πνεῦμα· οἱ δ' ὀφθαλμοὶ μολύνουσι τὸν συνεχῆ ἀέρα μέχρις ὡρισμένου διαστήματος, ὃν τρόπον καὶ τὰ κάτοπτρα, νέα ὄντα καὶ καθαρά, ἐφέλκονταί τινα κηλῖδα ἐκ τῆς ὄψεως τῶν ἐν τοῖς καταμηνίοις οὐσῶν γυναικῶν, ὡς Ἀριστοτέλης δοκεῖ ἐν τῷ περὶ ὕπνου καὶ ἐγρηγόρσεως. Ὅταν οὖν τις ψυχὴ ἐπὶ πονηρίαν οὕτω σφοδρῶς κινηθῇ, ὃ μάλιστα ταῖς γραυσὶ συμβαίνει, γίνεται ἡ ὄψις δηλητηριώδης διὰ ταῦτα καὶ βλαβερά, καὶ μάλιστα παισίν, ἁπαλὸν ἔχουσι τὸ σῶμα καὶ ῥᾳδίως τῶν δράσεων δεκτικόν. Δυνατὸν δὲ καὶ

---

9 *δὲ* après *ἐξωθοῦσα* est une répétition inutile 32 *κηλῖδα*: peut-être *κηλιδώματα* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

συγχωρήσει Θεοῦ, ἢ καί τινος λανθανούσης ἐνεργείας δαιμόνων συνεργούσης, μεθ' ὧν αἱ γραῖαί τινας ἔχουσι πίστεις, τοιαῦτα γίνεσθαι.

4. Ὅτι ἡ χωριστὴ ψυχὴ τῇ φυσικῇ ἑαυτῆς δυνάμει οὐ δύναταί τι σῶμα κινεῖν· σώματι γὰρ ἡνωμένη, οὐ κινεῖ τὸ σῶμα εἰ μὴ μεταδοῦσα τούτῳ ζωῆς· ὅθεν εἴ τι τῶν μελῶν τοῦ σώματος ἀποθάνοι, οὐχ ὑπείκει τῇ ψυχῇ πρὸς τὴν κίνησιν· φανερὸν δέ, ὅτι ὑπὸ τῆς ψυχῆς οὐδὲ ἓν σῶμα ζωοποιεῖται· ὅθεν πρὸς τὴν κατὰ τόπον κίνησιν οὐδὲν αὐτῇ σῶμα ὑπείκει, ὅσον ἐκ τῆς φυσικῆς δυνάμεως ταύτης, ᾗ προστεθεῖναι δύναταί τι τῇ θείᾳ δυνάμει.

## CXVIII. — Περὶ τῆς τοῦ ἀνθρώπου παραγωγῆς ἐκ τοῦ ἀνθρώπου, ὅσον κατὰ ψυχήν.

1. Ὅτι ἡ αἰσθητικὴ ψυχὴ μετὰ τοῦ σπέρματος παράγεται. Ἐν γὰρ τοῖς τελείοις ζῴοις, τοῖς ἐκ τῆς συνουσίας γεννωμένοις, ἡ ἐνεργητικὴ δύναμις ἐν τῷ σπέρματι τοῦ ἄρρενός ἐστι, ὕλη δὲ τοῦ ἐμβρύου, τὸ ὑπὸ τοῦ θήλεος χορηγούμενον, ἐν ᾗ ὕλῃ εὐθύς ἐστιν ἐξ ἀρχῆς ἡ φυσικὴ ψυχὴ οὐ μὴν κατὰ τὴν δευτέραν ἐνέργειαν, ἀλλὰ κατὰ τὴν πρώτην, ὥσπερ ἡ αἰσθητικὴ ψυχὴ ἐν τοῖς καθεύδουσιν· ὅταν δὲ ἄρξηται ἕλκειν τροφήν, τότε ἤδη ἐνεργείᾳ ἐνεργεῖ. Ἡ ὕλη ἄρα μεταβάλλεται ὑπὸ τῆς ἐν τῷ σπέρματι τοῦ ἄρρενος δυνάμεως μέχρις ἂν ἀφίκηται ἐπὶ τὴν ἐντελέχειαν τῆς αἰσθητικῆς
f. 285 v ψυχῆς, οὐχ ὥστ' αὐτὴν τὴν ἐν τῷ | σπέρματι δύναμιν αἰσθητικὴν γενέσθαι ψυχήν· οὕτω γὰρ ἂν ταὐτὸν ἦν τὸ γεννῶν καὶ τὸ γεννώμενον, καὶ μᾶλλον ἦν τοῦτο τροφῇ καὶ αὐξήσει ὅμοιον ἢ γενέσει· μετὰ δὲ τὸ τὴν αἰσθητικὴν ψυχὴν τῇ δυνάμει τῆς ἐνούσης τῷ σπέρματι ἐνεργητικῆς ἀρχῆς εἰς τὴν ἐν τῷ γεννηθέντι αἰσθητικὴν ψυχὴν προαχθῆναι, ὅσον πρὸς τὸ ἀρχοειδὲς αὐτῆς μέρος, τότ' ἤδη ἡ αἰσθητικὴ ἐκείνη ψυχὴ τοῦ ἐμβρύου ἄρχεται ἐνεργεῖν πρὸς τὴν συμπλήρωσιν τοῦ ἰδίου σώματος κατὰ τὸν τῆς τροφῆς καὶ τῆς αὐξήσεως τρόπον. Ἡ δὲ ἐν τῷ σπέρματι οὖσα ἐνεργητικὴ δύναμις παύεται τοῦ εἶναι, διαλυθέντος τοῦ πνεύματος καὶ τοῦ ἐνόντος πνεύματος σκεδασθέντος· τοῦτο δ' οὐκ ἔστιν ἄτοπον· ἡ γὰρ δύναμις αὕτη οὐκ ἔστι πρώτως ποιοῦν, ἀλλ' ὄργανον· ἡ δὲ τοῦ ὀργάνου κίνησις παύεται, ἤδη παρηγμένου τοῦ ἀποτελέσματος εἰς τὸ εἶναι.

2. Ὅτι ἡ νοερὰ ψυχὴ οὐχ ἔχει ἐκ τοῦ σπέρματος τὴν αἰτίαν· ἀδύνατον γὰρ τὴν ἐν ὕλῃ ἐνεργητικὴν δύναμιν ὑπερβαίνειν τὴν ἰδίαν ἐνέργειαν, ὥστε προάγειν ἄϋλον ἀποτέλεσμα. Ἡ δὲ νοερὰ ἀρχὴ ἐν ἀνθρώπῳ τὴν

---

**11 Autre titre en rouge à la marge inférieure A:** *Περὶ τῆς ἐν τῇ γενέσει τῇ καθ' ἡμέραν παραγωγῆς τῆς ψυχῆς* **24** *ἐνεργητικῆς* **corrigé de** *γεννητικῆς* **A 26** *αὐτῆς* **corrigé de** *αὐτοῦ* **33 Ici, en marge, note d'une écriture récente:** *Περὶ τῆς ψυχῆς, ὅτι ἀθάνατος, ἄϋλος καὶ ὅρα . . . .*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὕλην ὑπερβαίνει, ἔχουσα ἐνέργειαν, ἧς οὐ κοινωνεῖ τὸ σῶμα, καὶ διὰ τοῦτο ὁ Φιλόσοφος· „Λείπεται, φησί, τὸν νοῦν μόνον ἔξωθεν ἐπεισιέναι". Ὁμοίως δὲ ἡ νοερὰ ψυχή, ἔχουσα ἐνέργειαν ἄνευ σώματος, ὑφεστῶσά ἐστιν· διὰ τοῦτο ἐπιβάλλει αὐτῇ καὶ εἶναι καὶ γίνεσθαι· οὐ γὰρ παράγεται διὰ γενέσεως, ἀλλὰ δημιουργίᾳ μόνῃ ὑπὸ Θεοῦ. Εἰ δὲ αἴτιον εἶχε τὸν γεννῶντα, οὐκ ἂν ὑφειστήκει, καὶ ἀκολούθως συνεφθείρετ' ἂν τῷ σώματι. Ὅθεν τὸ λέγειν αὐτὴν ἐκ τοῦ σπέρματος προϊέναι αἱρετικόν ἐστιν.

Ἐπεὶ τοίνυν ἡ τοῦ ἑνὸς γένεσις ἄλλου ἐστὶ φθορά, καὶ τοῦ τελειοτέρου εἴδους ἐπιόντος, τὸ πρότερον φθείρεται, ἔχοντος τοῦ ἐπιόντος τὰ τοῦ προτέρου πάντα καὶ ἔτι πλέον, ὥσθ' οὕτω διὰ πολλῶν γενέσεων καὶ φθορῶν ἔρχεσθαι ἐπὶ τὸ οὐσιῶδες εἶδος, ὃ καὶ τῇ αἰσθήσει δῆλον ἐν τοῖς ἐκ σήψεως γεννωμένοις ζῴοις, διὰ ταῦτά φαμεν τὴν νοερὰν ψυχήν, αἰτίαν ἔχουσαν τὸν Θεόν, ἐν τῷ τέλει τῆς ἀνθρωπίνης γενέσεως αἰσθητικὴν ἅμα καὶ θρεπτικὴν εἶναι, φθαρέντων τῶν προϋπαρχόντων εἰδῶν.

Τὸ δὲ τὸ τὸν ἄνθρωπον χρῆναι ὅμοιον ἑαυτῷ γεννᾶν οὐ προσίσταται· καὶ οὕτω γὰρ ὅμοιον ἑαυτῷ γεννᾷ, καθόσον διὰ τὴν τοῦ σπέρματος αὐτοῦ δυνάμεως διατίθεται ἡ ὕλη πρὸς τοιούτου εἴδους ὑποδοχήν.

Ἀλλ' οὐδὲ συνεργεῖ διὰ τοῦτο ταῖς ἁμαρτίαις ὁ Θεὸς καὶ ταῖς ἐξ αὐτῶν γενέσεσι τῶν ἀνθρώπων· ἐν γὰρ τῇ τῆς μοιχείας ἐνεργείᾳ, τὸ μὲν ἐκ τῆς φύσεως ἀγαθόν ἐστιν, καὶ τούτῳ | συνεργεῖ ὁ Θεός· τὸ δὲ τῆς f. 286
θελήσεως ἄτακτον κακόν ἐστιν, ᾧπερ οὐδὲ συνεργεῖ.

3. Ὅτι οὐκ ἐκτίσθαι ἅμα ἐξ ἀρχῆς τοῦ κόσμου αἱ ψυχαὶ σὺν τοῖς ἀγγέλοις, εἶτα κατὰ συμβεβηκὸς ἑνοῦνται τοῖς σώμασιν· πρῶτον μὲν γὰρ ἦν ἂν ὁ ἄνθρωπος κατὰ συμβεβηκὸς ἕν, ἢ ἄνθρωπος ἦν ἂν ἡ ψυχὴ μόνον, ἅπερ ἀπεδείχθη ἀδύνατα. Ἀλλ' οὐδὲ τῆς αὐτῆς φύσεως τοῖς ἀγγέλοις ἐστίν, ἡ διαφόρως νοοῦσα. Ὁ μὲν γὰρ ἄνθρωπος τῷ λαμβάνειν ἐκ τῶν αἰσθήσεων νοεῖ καὶ τῷ ἐπιστρέφειν εἰς τὰ φαντάσματα, καὶ δεῖται διὰ τοῦτο τοῦ σώματος πρὸς τὴν ἐνέργειαν τοῦ αἰσθητικοῦ μέρους, ὃ περὶ τοῦ ἀγγέλου ἀδύνατον. Δεύτερον, εἰ μὲν φύσει ἐστὶ τῇ ψυχῇ τὸ ἑνωθῆναι τῷ σώματι, παρὰ φύσει ταύτῃ τὸ χωρὶς σώματος εἶναι, καὶ χωρὶς οὖσα οὐκ ἔχει τὴν τῆς ἰδίας φύσεως τελειότητα· οὐκ ἦν δὲ εἰκὸς ἀπὸ τῶν ἀτελῶν ἄρξασθαι τὸν Θεὸν τοῦ οἰκείου ἔργου· οὐ γὰρ ἐποίησε τὸν ἄνθρωπον ἄνευ χειρός, ἤ τινος τῶν φυσικῶν αὐτοῦ μερῶν· πολλῷ ἄρα ἧττον ἐποίησεν ἂν τὴν ψυχὴν ἄνευ σώματος. Εἰ δὲ λέγοι τις μὴ φυσικὸν εἶναι τὸ ἑνωθῆναι, ἀνάγκη ζητεῖν αἰτίαν· ἢ οὖν βουλομένης τῆς ψυχῆς γίνεται τοῦτο, ἢ μή· ἀλλ' ἄτοπον, βουλομένης· ἄλογός τε γὰρ ἂν ἦν ἡ βούλησις μὴ δεομένην σώματος ἑνωθῆναι βούλεσθαι· εἰ δὲ ἐδεῖτο, φυσικὸν ἂν ἦν, καὶ ἥνωτο ἄν· ἡ γὰρ φύσις οὐκ ἀδυνατεῖ ἐν τοῖς ἀναγκαίοις· καὶ ἔτι, οὐδεὶς ἂν ἦν λόγος δι' ὃν αἱ ψυχαὶ ἐν ἀρχῇ τοῦ κόσμου κτισθεῖσαι ἠβουλήθησαν ἂν ὕστερον πολὺ ἑνωθῆναι σώμασιν· ἡ γὰρ ἀσώματος οὐσία ὑπὲρ χρόνον

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστίν, ὡς ἂν ὑπερβαίνουσα τὴν οὐρανοῦ περίοδον· καὶ πρὸς τούτοις ἔδ ἂν ἐκ ταὐτομάτου γίνεσθαι ἡ ἕνωσις αὕτη, δύο θελήσεων συνδρι ζητουμένης, τῆς τε εἰσιούσης ψυχῆς καὶ τοῦ γεννῶντος ἀνθρώπου· μὴ βουλομένης δὲ ἄτοπον· δεῖ γὰρ εἶναι αἰτίαν βίαν ἐπιτιθεῖσαν, ὃ ἔ κόλασις καὶ λυπηρόν. Τοῦτο δὲ τῆς Ὠριγένους αἱρέσεως, σωματωθ λέγοντος τὰς ψυχὰς δι' ἔκτισιν ἁμαρτίας, πλατωνικῶς.

Εἰ δὲ καταπαῦσαι ὁ Θεὸς λέγεται τῇ ἑβδόμῃ, ἀλλ' οὐκ ἀπὸ πα ἔργου· εἴρηται γάρ· „Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγώ", ἀλλ' τοῦ δημιουργεῖν ἄλλα καινὰ εἴδη καὶ σκεύη. Αἱ δὲ νῦν κτιζόμεναι ψι προϋπέστησαν τρόπον τινὰ καθ' ὁμοιότητα τοῦ εἴδους ἐν τοῖς πρώ σώμασιν, ἐν οἷς δεδημιούργηται ἡ τοῦ Ἀδὰμ ψυχή.

Ἀλλ' οὐδὲ προσθήκη τῇ τελειότητι τοῦ παντὸς ἐντεῦθεν, ἵνα πρότ ἀτελὲς ἦν· οὐ γὰρ ἀριθμὸς εἰδῶν προστίθεται, ἀτόμων δὲ ἀριθμὸν ἀπε καθημέραν προστίθεσθαι οὐ κωλύει.

f. 286v Ἀλλ' οὐδὲ | τὸ δεῖν ἀναλογεῖν τῇ ἀρχῇ τὸ τέλος τοῦ πράγματος ἀ κάζει. Τὸ γὰρ τήνδε τὴν ψυχὴν ἄνευ σώματος μένειν διὰ τὴν τοῦ σώμ συμβαίνει φθοράν, ἥτις ἠκολούθησεν ἐκ τῆς ἁμαρτίας· ὅθεν οὐκ ἦν ε ἐντεῦθεν ἄρξασθαι τὰ ἔργα τοῦ Θεοῦ· „Ὁ γὰρ Θεὸς θάνατον οὐκ ἐποίη ἀλλ' οἱ ἀσεβεῖς ταῖς χερσὶ καὶ τοῖς λόγοις ἐπεσώρευσαν αὐτήν", ὡς ἐ Σοφίᾳ λέγεται.

## CXIX. — Περὶ τῆς ἀνθρωπίνης διαδοχῆς ὅσον πρὸς τὸ σῶμα.

1. Ὅτι αἱ τροφαὶ εἰς τὴν δύναμιν τῆς ἀνθρωπίνης φύσεως μ βάλλουσιν, οὐ θεωρουμένης τῆς ἀνθρωπίνης φύσεως ἐν τῷ κοινῷ, ὡς ἔ ἁπλῶς ψυχὴ καὶ σῶμα, ἀλλ' ὡς ἐν τῷ Πέτρῳ ἢ Μαρτίνῳ, ἐν οἷς τὸ τοιαύτης φύσεως ἀληθὲς ἥδε ἡ ψυχή ἐστι καὶ τόδε τὸ σῶμα, ἤ ἄτομον εἶδος καὶ ἄτομος ὕλη σεσημασμένη. Μεταβάλλουσιν οὖν εἰς ἀλήθειαν τῆς ἀνθρωπίνης φύσεως, καθ' ὅσον ἀληθῶς σαρκὸς εἶδος λαμ νουσιν, ἢ ὀστοῦ, ἤ τινος τῶν τοιούτων μερῶν, ὥς φησιν ὁ Φιλόσοφο δευτέρῳ περὶ ψυχῆς, ὅτι ἡ τροφὴ τρέφει καθόσον ἐστὶ δυνάμει σάρξ.

Τὸ δὲ ἐν τῷ κατὰ Ματθαῖον, ὅτι „πᾶν τὸ εἰσερχόμενον εἰς τὸ στ εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς τὸν ἀφεδρῶνα ἐκβάλλεται", οὐκ ἐμποδί οὐ γὰρ ὅλον εἶπε τὸ ἐξ ἑκάστου εἴδους τροφῆς, ἀλλὰ πᾶν εἶδος τρι πάσχει τοῦτο, ὅτι διακρινομένου τὸ παχύτερον ἐκβάλλεται, διὰ δὲ λεπτοτέρου ἀναπληροῦται τὸ διὰ τῆς φυσικῆς θέρμης ἀναλισκόμενον.

Ἀναλίσκεται δὲ οὐ τὸ ὑγρὸν ἐκεῖνο τῆς φύσεως ἐν ᾧ ἡ τοῦ εἴ δύναμις ἵδρυται· ἀναλωθὲν γὰρ οὐκ ἂν δύναιτο τῇ τροφῇ ἐπανελ

8 Ioh. 5, 17 18 Sap. 1, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὥσπερ εἰ ἀφαιρεθείη χεὶρ ἢ πούς· ἀλλὰ τὸ θρεπτικὸν ὑγρόν, ὅπερ οὔπω ἀφίκετο πρὸς τὸ τελείως ὑποδέξασθαι τὴν φύσιν τοῦ εἴδους, ἀλλ' ἔστιν ἐν τῇ πρὸς τοῦτο ὁδῷ, οἷον τὸ αἷμα καὶ τὰ τοιαῦτα, ὧν ἀφαιρουμένων, ἔτι μένει ἡ τοῦ εἴδους δύναμις ἐν τῇ ῥίζῃ, ἥτις οὐκ ἀναιρεῖται.

Ἡ μέντοι μεταβλητικὴ τῆς τροφῆς δύναμις ἐν ἀρχῇ μὲν διὰ δραστηριότητα μεταβάλλει ὅσον ἀρκεῖ μὴ πρὸς ἀναπλήρωσιν μόνον τοῦ ἀπορρυέντος, ἀλλὰ καὶ πρὸς αὔξησιν· εἶτα ἀσθενέστερον ἔχουσα, τὴν ἀναπλήρωσιν μόνον τοῦ ἀπορρέοντος ἐξαύξει· ὅθεν ἡ αὔξησις τότε παύεται· μετὰ δὲ ταῦτα καὶ πρὸς τοῦτο ἀδυνατεῖ, ὃ συμβαίνει τοῖς ἐν τῷ συνεχῶς ἐνεργεῖν ἀσθενοῦσιν· τὰ γὰρ οὕτω ποιοῦντα καὶ πάσχουσιν, ὥσπερ ἡ τοῦ οἴνου δύναμις, τῇ κατὰ μικρὸν μίξει τοῦ ὕδατος κατὰ μικρὸν ἀσθενοῦσα, τέλος φθείρεται, ὑδαροῦς γενομένου. Οὕτως οὖν καὶ τὸ ζῷον θνήσκει, τῆς δυνάμεως τελευταῖον ἀσθενησάσης.

2. Ὅτι κατὰ τὸν Φιλόσοφον | ἐν τῷ ἐσχάτῳ τῶν περὶ γενέσεως ζῴων, f. 287 τὸ σπέρμα ἐστὶ περίττωμα τῆς τροφῆς, καὶ οὐκ ἐκ τῆς τοῦ γεννῶντος οὐσίας· οὐ γὰρ ἐκκρίνεται ἐκ τοῦ ἐνεργείᾳ ὄντος ὅλου ὥσπερ τι ζῷον ἐνεργείᾳ μικρόν, ἵνα ἡ γένεσις ᾖ διαιρέσει μόνον, ὡς ἐκ πηλοῦ πηλὸς γίνεται, ἀλλὰ πρὶν εἰς τὴν τῶν μελῶν οὐσίαν μεταβληθῆναι, ὅτε ἡ τροφὴ δύναμίν τινα λαμβάνει κοινὴν τῇ πρὸς τὰ μέρη πάντα τοῦ σώματος παραθέσει, περιττευούσης τῆς τοιαύτης τροφῆς, ἀποκρίνεταί τι τὴν δύναμιν ὅλην ἔχον τῆς τῶν μελῶν οὐσίας ἁπάντων, καὶ διὰ τοῦτο δύναμιν ἔχον πρὸς τὴν τοῦ ὅλου σώματος παραγωγήν· διὸ δὴ καὶ σπέρμα λέγεται τὸ τοιοῦτον, μέρος ὂν τῆς ἡτοιμασμένης τῇ τῶν μελῶν προσθήκῃ τροφῆς καὶ τὴν δύναμιν, ὡς εἴρηται, τοῦ σώματος ἔχον ὅλου, διαχωριζόμενον δὲ τῆς ὁλότητος εἴς τινα τόπον διὰ τὴν ἐκείνης ὑπερβολὴν ἐν ποσότητι, οὐ διακρινόμενον περιττῶς κατὰ τὸν τρόπον τῶν ἄλλων περιττωμάτων, καὶ δυνάμει ἔχον πρὸς τὴν τοῦ ὅλου ζῴου σύστασιν ἐκ μεταβολῆς τῆς φυσικῶς πρὸς τοῦτο ζητουμένης καὶ γινομένης.

Ταῦτα δὲ οὐ κωλύει τὴν γέννησιν ἐκ τῆς οὐσίας εἶναι τοῦ γεννῶντος· τὸ γὰρ σπέρμα ἐκ τοῦ εἴδους τοῦ γεννῶντος ἔχει τὴν δύναμιν, καὶ τοιοῦτον ὄν, καὶ δυνάμει ἐστὶ πρὸς τὴν οὐσίαν αὐτοῦ.

Ἀλλ' οὐδ' ἀναγκαῖον πρὸς τὸ ὁμοιωθῆναί τινα γονεῦσιν ἢ προγόνοις αὐτοῦ τὴν σωματικὴν ὕλην τοῦ σπέρματος ἐν ἐκείνοις πᾶσιν εἶναι, ἀλλὰ τῆς ὁμοιώσεως τοῦ γεννῶντος πρὸς τὸ γεννώμενον οὐ διὰ τὴν ὕλην οὔσης ἀλλὰ διὰ τὸ εἶδος τοῦ ποιοῦντος, ἀρκεῖ εἶναί τινα δύναμιν ἐν τῷ σπέρματι ἐκ τῆς τοῦ πάππου ψυχῆς κατιοῦσαν διὰ μέσου τοῦ πατρός.

Τὸ δ' αὐτὸ δεῖ λέγειν καὶ περὶ τῶν τροφῶν, αἳ ἐκ χοιρείων ἢ βοείων κρεῶν εἰσιν· ἡ γὰρ ὁμοιότης οὐ κατὰ τὴν ὕλην ἐστίν, ἀλλὰ κατὰ τὴν τοῦ εἴδους κάθοδον.

Εἰ δὲ καὶ ἡμεῖς ἐν τῷ Ἀδὰμ λεγόμεθα εἶναι καὶ κατὰ τὸν σπερ-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ματικὸν λόγον καὶ κατὰ τὸν σωματώδη, οὐχ ὡς ἐνεργείᾳ ὄντος νῦν ἐν Ἀδὰμ τοῦ σπερματικοῦ προσεχοῦς λόγου καὶ τῆς σωματικῆς οὐσίας τουδὶ τοῦ ἀνθρώπου, ἀλλὰ κατ' αἰτίαν μόνον προηγησαμένην. Ἀλλ' ὁ Κύριος ἡμῶν Ἰησοῦς κατὰ τὴν οὐσίαν μόνον τὴν σωματικὴν ἦν ἐν Ἀδάμ· ἡ γὰρ ἐκ τῆς παρθένου χορηγηθεῖσα ὕλη ἐξ Ἀδὰμ κατῆει· ἡ δὲ ποιητικὴ δύναμις οὐκ ἐξ Ἀδάμ· οὐ γὰρ εἰδοπεποίητο δυνάμει σπέρματος φυσικοῦ, ἀλλὰ τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ. Τοιοῦτος γὰρ ἔπρεπε τόκος τῷ ὑπὲρ πάντας εὐλογημένῳ εἰς τοὺς αἰῶνας· ἀμήν: †.

---

# Corrections.

| *Page* | *ligne* | *au lieu de* | *lire* |
|---|---|---|---|
| 87 | 24 | ἀνθρώπω | ἀνθρώπῳ |
| 90 | 24 | ὑποκείμένῳ | ὑποκειμένῳ |
| 95 | 3 | εἴην | εἶεν |
| 337 | titre courant | fines | fins |

---

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Table des matières.

**Introduction** . . . . . . . . . . . . . . . . . . . . . . . . V-IX

**I. Résumé de la Somme contre les Gentils de saint Thomas d'Aquin** 1-338
1. Préface de Scholarios . . . . . . . . . . . . . . . . . 1-2
2. Livre I: Dieu en lui-même . . . . . . . . . . . . . . . 2-60
3. Livre II: Dieu créateur . . . . . . . . . . . . . . . . 61-116
4. Livre III: Dieu fin dernière et providence . . . . . . . . . 116-239
5. Livre IV: La doctrine révélée . . . . . . . . . . . . . . 239-338

**II. Résumé de la première partie de la Somme théologique de saint Thomas d'Aquin** . . . . . . . . . . . . . . . . . . 338-510
1. Introduction . . . . . . . . . . . . . . . . . . . . 338-340
2. Traité de Dieu . . . . . . . . . . . . . . . . . . . 340-368
3. Traité de la Trinité . . . . . . . . . . . . . . . . . 368-378
4. Traité de la création en général . . . . . . . . . . . . 378-390
(4.bis Extraits de la *Somme contre les Gentils* . . . . . . . . 381-383)
5. Traité des anges . . . . . . . . . . . . . . . . . . 390-416
6. Traité de la création corporelle . . . . . . . . . . . . 416-431
7. Traité de l'homme . . . . . . . . . . . . . . . . . . 431-480
8. Traité du gouvernement divin . . . . . . . . . . . . . . 480-510

**Corrections** . . . . . . . . . . . . . . . . . . . . . . 510

**Table des matières** . . . . . . . . . . . . . . . . . . . 511

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Imprimerie G. Uschmann à Weimar.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006